# Diotímos

Testimonia DK 76 A

**A 1** = Aetios II. 17, 3 (D. 346)
Διότιμος Τύριος ὁ Δημοκρίτειος τὴν αὐτὴν τούτοις εἰσηνέγκατο γνώμην.

**A 2** = Kléméns Alex., Stromata II, 130
ἔτι πρὸς τούτοις Διότιμος τὴν παντέλειαν τῶν ἀγαθῶν ἣν εὐεστὼ προσαγορεύεσθαι ὑπὸ Δημοκρίτου, τέλος ἀπέφηνεν.

**A 3** = Sextos Empeirikos, Adversus mathematicos VII, 140
Διότιμος δὲ τρία κατ᾽ αὐτὸν (68 A 111) ἔλεγεν εἶναι κριτήρια, (1) τῆς μὲν τῶν ἀδήλων καταλήψεως τὰ φαινόμενα (᾽ὄψις γὰρ τῶν ἀδήλων τὰ φαινόμενα᾽, ὥς φησιν ᾽Αναξαγόρας (59 B 21a), ὃν ἐπὶ τούτωι Δημόκριτος ἐπαινεῖ), (2) ζητήσεως δὲ τὴν ἔννοιαν (᾽περὶ παντὸς γάρ, ὦ παῖ, μία ἀρχὴ τὸ εἰδέναι περὶ ὅτου ἔστιν ἡ ζήτησις᾽ - Platón, Phaedr. 237b), (3) αἱρέσεως δὲ καὶ φυγῆς τὰ πάθηῥ τὸ μὲν γὰρ ὧι προσοικειούμεθα, τοῦτο αἱρετόν ἐστιν, τὸ δὲ ὧι προσαλλοτριούμεθα, τοῦτο φευκτόν ἐστιν.